ἔν τε ταῖς κινήσεσι βραδὺς ἔστω καὶ ἀνειμένος, τῷ σχήματι καὶ τῷ ἤθει τῷ ἐπὶ τοῦ προσώπου, μὴ ἐπισπερχὴς, ἀλλὰ ἀγαθὸς φαινέσθω. Τὰ ῥυτιδώδη τῶν προσώπων, καὶ ἰσχνὰ ὄμματα κατακεκλασμένα, ἅμα δὲ καὶ τὰ κεκλασμένα τῶν ὀμμάτων, δύο σημαίνει, τὸ μὲν μαλακὸν καὶ θῆλυ, τὸ δὲ κατηφὲς καὶ ἄθυμον. ἐν τῷ σχήματι ταπεινὸς, καὶ ταῖς κινήσεσιν ἀπηγορευκώς. Κιναίδου σημεῖα, ὄμμα κατακεκλασμένον· γονύκροτος· ἐγκλίσεις τῆς κεφαλῆς εἰς τὰ δεξιά· αἱ φοραὶ τῶν χειρῶν ὕπτιαι καὶ ἔκλυτοι· καὶ βαδίσεις διτταὶ, ἡ μὲν περινεύοντος, ἡ δὲ κρατοῦντος τὴν ὀσφύν· καὶ τῶν ὀμμάτων περιβλέψεις· οἷος ἂν εἴη Διονύσιος ὁ σοφιστής. Πικρὸς, τὸ πρόσωπον σεσηρός· μελανόχρως· ἰσχνός· τὰ περὶ τὸ πρόσωπον διεξυσμένος· τὸ πρόσωπον ῥυτιδώδης· ἄσαρκος, εὐθύθριξ, καὶ μελάνθριξ. Θυμώδης, ὀρθὸς τὸ σῶμα· τῷ σχήματι εὔπλευρος, εὔθυμος, ἐπίπυρρος· ὠμοπλάται διεστηκυῖαι, καὶ μεγάλαι, καὶ πλατεῖαι· ἀκρωτήρια μεγάλα, καὶ ἐγκρατῆ· λεῖος καὶ περὶ τὰ στήθη, καὶ περὶ βουβῶνας· εὐπώγων· εὐανθὴς ὁ περίδρομος τῶν τριχῶν, κάτω κατεληλυθώς. Πρᾶος, ἰσχυρὸς τὸ εἶδος, εὔσαρκος· ὑγρὰ σὰρξ καὶ πολλή· εὐμεγέθης καὶ σύμμετρος, ὕπτιος τῷ σχήματι· ὁ περίδρομος τῶν τριχῶν ἀνεσπασμένος· Εἴρων· πίονα τὰ περὶ τὸ πρόσωπον, καὶ τὰ περὶ τὰ ὄμματα ῥυτιδώδη· ὑπνῶδες τὸ πρόσωπον τῷ ἤθει φαίνεται. Μικρόψυχος, μικρομελὴς, μικρογλάφυρος, ἰσχνὸς, μικρόμματος, καὶ μικροπρόσωπος· οἷος ἂν εἴη Κορίνθιος ὁ Λευκάδιος. Φιλόκυβοι, γαλεάγκωνες καὶ ὀρχησταί. Φιλολοίδοροι, οἷς τὸ ἄνω χεῖλος μετέωρον· καὶ τὰ εἴδη προπετεῖς, ἐπίπυρροι. Ἐλεήμονες, ὅσοι γλαφυροὶ, καὶ λευκόχροοι, καὶ λιπαρόμματοι, καὶ τὰ ῥινία ἄνωθεν διεξυσμένοι, καὶ ἀεὶ δακρύουσιν. αὐτοὶ οὗτοι φιλογύναιοι, καὶ θηλυγόνοι, καὶ περὶ τὰ ἤθη ἐρωτικοὶ, καὶ ἀειμνήμονες, καὶ εὐφυεῖς, καὶ ἔνθερμοι. τούτων δὲ σημεῖα εἴρηται. Ἐλεήμων, ὁ σοφὸς, καὶ δειλὸς, καὶ κόσμιος. Ἀνελεήμων, ἀμαθὴς καὶ ἀναιδής. Ἀγαθοὶ φαγεῖν, οἷς τὸ ἀπὸ τοῦ ὀμφαλοῦ πρὸς τὸ στῆθος μεῖζόν ἐστιν, ἢ τὸ ἐντεῦθεν πρὸς τὸν αὐχένα. Λάγνος, λευκόχρως, καὶ δασὺς εὐθείαις θριξὶ καὶ παχείαις, καὶ μελαίναις· καὶ οἱ κρόταφοι δασεῖς εὐθείαις θριξί. λιπαρὸν τὸ ὀμμάτιον καὶ μάργον

A in motibus tardus erit, & remissus figura, & more, qui est in facie, non præceps, sed videtur bonus. INANIMOSI signa. Rugosa facies, & macri oculi confracti, simul autem & confracta oculorum duo significant, hoc quidem molle, & fœmininum, aliud verò demissum & pauidum: in figura humilis, & motibus remissus.

Signa CINAEDI. Oculus confractus, genu flexibilis, inclinatio capitis ad dex-
B tram, motus manuum supini, & dissoluti, & ambulationes duplices. Hæc quidem circumclinantis, alia verò tenentis lumbos, & oculorum circumspectiones, qualis vtique fuerit Dionysius sophista.

Signa AVARI. Facie remissus, nigri coloris, macer, quæ sunt circa faciem quasi abrasa: facies rugosa, non carnosus, recti crinis, & nigri. Signa IRACVNDI. Rectus corpore, figura bene latus, animosus, subrufus, scapulæ distantes, & ma-
C gnæ, & latæ, extrema magna, & fortia, læuis & circa pectus, & circa bubones, barbatus probè, capillorum ambitus floridus, deorsum tendens. Signa MANSVETI. Fortis specie, bene carnosus, caro humida, multa, bonæ magnitudinis, & commensuratus, figura curuus, cursus capillorum sursum vulsus. Eorum, qui sunt aliorum REPREHENSORES. Oculi sunt rugosi, somnolenta facies de more
D videtur: quæ circa faciem sunt, & oculos, pinguia. PVSILLANIMI. Paruorum membrorum, & paruorum articulorum, macer, & paruorum oculorum, & paruæ faciei, qualis fuerit Leucadius Corinthius. LVDI AMANTES. Iusto breuiorem cubitum habent, gaudent victoria. AMATORES CONTVMELIARVM. Quibuscunque est superius labium ele-
E uatum, & specie proni sunt, & rubicundi. MISERICORDES. Misericordes sunt, quicunque sunt albi coloris, & puri, & habent oculos quasi pingues & nares deorsum distantes & semper plorant. Iidem etiam amatores sunt mulierum, & gignitores fœminarum, & circa mores interrogabundi, & semper memores; ingeniosi, & callidi: horum autem signa dicta sunt. Misericors, est sapiens, & timidus, & moderatus. Immisericors, &
F insipiens, & inuerecundus. Signa VORACIS. Voraces sunt hi, quibus id, quod est ab vmbilico ad pectus, maius est: aut quod inde est vsque ad collum. Signa LVXVRIOSI. Qui est albi coloris, & pilosus, rectis capillis, & crassis, & nigris, & tempora pilosa, oculus pinguis & lasciuus.